UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Universitätsbibliothek Paderborn

Eusebiu Tu Pamphilu Ekklēsiastikē Istoria

Eusebius <Caesariensis>

Mogvntiae, 1672

XIII. Constantini humanitas in milites captos.

urn:nbn:de:hbz:466:1-14478

Visual Library

Exinde velut diviniore actus impulſu, prosilire ex tabernaculo ſolebat: & ſigno ad proficiſcendum dato, ſtatim militibus imperabat ut abſq; mora gladios ſtringerent. Qui confeſtim impetu in hoſtem facto, obvios omnes ſine ullo ætatis diſcrimine obtruncabant; donec exiguo temporis momento partâ victoriâ, tropæa de victis hoſtibus erexiſſent.

Caput XIII.

Conſtantini humanitas in milites captos.

HOc modo Imperator ante pugnæ conflictum, & ſeipſum gerere, & exercitum ſuum inſtituere, etiam antea ſolitus erat: quippe qui Deum vitæ ſuæ ſemper anteponeret, cunctaq; ejus nutu & conſilio agere ſtuderet; & multorum hominum cædem facere religioni duceret. Quocircà non minus hoſtium quàm militum ſuorum conſulebat ſaluti. Itaque ſuis victoriam adeptis præcipiebat, ut victis parcerent; utque homines nati, communis hominum naturæ meminiſſent. Quod ſi fortè militum animos obſtinatos ad cædem videret, auri largitione eos reprimebat; jubens ut qui hoſtem vivum cepiſſet, certo auri pondere donaretur. Atque hanc illecebram ad ſalutem hominum conſervandam Imperatoris excogitavit ſolertia. Adeo ut plurimi ex ipſis etiam Barbaris ſervati ſint, cùm Imperatoris aurum vitam ipſorum redemiſſet.

Caput XIV.

Iterum de oratione in tabernaculo.

HÆc & alia plurima horum ſimilia, Imperator etiam aliàs factitare conſueverat. Tunc temporis verò antequam prœlium conſereret, ſeorſum in tabernaculo poſitus, orationibus, ut ſolebat, vacavit: ab omni quidem joco & delicatiori vitæ cultu abſtinens: jejuniis verò aliiſque hujuſmodi exercitationibus corpus fatigans, & ſupplicationibus ac precibus ita Deum placans, ut benignum illum ac propitium ſuarum partium adjutorem haberet, eáque ageret quæ ille menti ſuæ ſuggeſſiſſet. Et Conſtantinus quidem Reipublicæ pervigilem curam gerebat; non magis pro ſuorum quàm pro hoſtium ſalute vota faciens.

A θεοφανείας ἐτύγχανεν· εἶθ' ὥσπερ θειοτέρως κινηθεὶς ἐμπνεύσει, τῆς σκηνῆς ἀναπηδήσας ἐξαίφνης κινεῖν αὐτίκα τὰ στρατιωτικὰ καὶ μὴ μέλλειν, ἀλλὰ καὶ αὐτῆς ὥρας ξιφῶν ἅπτεσθαι παρεκελεύετο. οἱ δ' ἀθρόως ἐπιθέμενοι ἠβηδὸν ἔκοπτον, ἕως ἂν τὴν νίκην ἐν ὥρας ἀκαρεῖ προσαπολαβόντες, τρόπαια κατ' ἐχθρῶν ἀνίστων ἐπινίκια.

ΚΕΦΑΛΑΙΟΝ ΙΓ.

B *Φιλανθρωπία περὶ τοὺς συλλαμβανομένους στρατιώτας.*

ΟΥτω μὲν δὴ βασιλεὺς ἄγειν ἑαυτόν τε καὶ τὸν αὐτοῦ στρατὸν ἐν ταῖς τῶν πολέμων παρατάξεσι, καὶ πάλαι πρότερον εἰώθει. τὸν αὐτοῦ Θεὸν πρὸ τῆς ψυχῆς ἀεὶ τιθέμενος, ταῖς αὐτοῦ βουλαῖς πάντα πράττειν ἐθέλων. εὐλαβείας τε ποιούμενος τὸν τῶν πολλῶν θάνατον. ἔνθεν οὐ μᾶλλον τῆς τῶν οἰκείων, ἢ τῆς τῶν ἐχθρῶν προὐνόει σωτηρίας. διὸ καὶ κρατήσασι τῇ μάχῃ τοῖς οἰκείοις, τῶν ἁλόντων φείδεσθαι παρῄνει, μὴ δ' ἀνθρώπους ὄντας, τῆς συγγενοῦς φύσεως ἐν λήθῃ γίγνεσθαι. εἰ δέ που τ-
C τῶν ὁπλιτῶν τοὺς θυμοὺς ἀκρατεῖς ἑώρα, χρυσοῦ δόσει τούτους ἐχαλίνου. τὸν ζωγροῦντα τινὰ τῶν πολεμίων, ὡρισμένῃ χρυσοῦ τιμᾶσθαι προστάττων ὁλκῇ. καὶ τοῦτο δέλεαρ ἀνθρώπων σωτηρίας ἡ βασιλέως εὕρετο σύνεσις. ὡς ἤδη μυρίοι καὶ αὐτῶν ἐσώζοντο Βαρβάρων, χρυσῷ βασιλέως τὴν ζωὴν αὐτοῖς ὠνουμένου.

ΚΕΦΑΛΑΙΟΝ ΙΔ.

Ἔτι περὶ τῆς ἐν σκηνῇ προσευχῆς.

ΤΑῦτα μὲν οὖν καὶ τούτοις ἀδελφὰ μυρία, φίλα ἦν πράττειν βασιλεῖ καλλ…
D κἀπὶ τοῦ παρόντος δὲ συνήθως ἐφ' ἑαυτοῦ πρὸ μάχης σκηνοποιούμενος, ταῖς πρὸς τὸν Θεὸν εὐχαῖς τὴν σχολὴν ἀνετίθει. ῥᾳστώνης μὲν ἁπάσης καὶ τρυφηλῆς διαίτης ἀλλοτριούμενος, νηστείαις δὲ καὶ κακώσει τοῦ σώματος πιέζων ἑαυτόν, ταύτῃ τε τὸν Θεὸν ἱκετηρίαις καὶ λιταῖς ἱλασκόμενος, ὡς ἂν δεξιὸν αὐτὸν καὶ βοηθὸν ἔχων, πράττοι τε ταῦτα ἅπερ αὐτῷ Θεὸς ἐμβάλοι τῇ διανοίᾳ. ἀλλ' ὁ μὲν ἄϋπνον ἐποιεῖτο τὴν ὑπὲρ τῶν κοινῶν φροντίδα. οὐ μᾶλλον τῶν οἰκείων, ἢ τῆς τῶν πολεμίων ὑπερευχόμενος σωτηρίας.